δὲ δυςθυμία, δυςφροςύνη, καὶ τὰ ὅμοια. ζήτει ἐν τῷ ἀρετή. Κακία δέ ἐςτιν ἡ τοῦ κακῶςαι τὸν πέλας ςπουδὴ παρὰ τῷ Ἀποςτόλῳ.

151 Κακία: διώνυμός ἐςτιν ἡ λέξις. ἡ ὄντως κακία, οἷον πορνεία, μοιχεία, πλεονεξία καὶ ἐπιορκία, καταλαλιά. λιμὸς δὲ καὶ λοιμός, θάνατοι καὶ νόςοι καὶ τἆλλα, οὐκ ἔςτι κακά, διότι πολλάκις ἡμῖν ἀγαθῶν αἴτια γίνεται. καὶ περὶ ταύτης φηςὶν ὁ προφήτης· οὐκ ἔςτι κακία ἐν πόλει, ἣν κύριος οὐκ ἐποίηςεν.

152 Κακιζόμενοι: ταπεινούμενοι. Σ

153 Κακίζω· αἰτιατικῇ. Synt

154 Κάκιθος: ὁ κακιζόμενος. Δ

155 Κακίονος: τοῦ χείρονος. Δ

156 Κακοδαίμων: ὁ θεῷ ἐπαχθής, καὶ ὁ τὴν ψυχὴν ἔχων ἐμπαθῆ. Αἰλιανός· ἀνὴρ Εὐφρόνιος, κακοδαίμων ἀνήρ, καὶ ἔχαιρεν ἐπὶ ταῖς Ἐπικούρου φλυαρίαις καὶ ἐξ ἐκείνων κακὰ εἰρύςατο δύο, ἄθεός τε καὶ ἀκόλαςτος εἶναι. Σ E

157 Κακοέπεια: βλαςφημία. Σ

158 Κακοζηλία. Καλλίνικος ἔγραψεν ὁ Σύρος περὶ κακοζηλίας ῥητορικῆς. Δ Hesy.

159 Κακοηθέςτατα: ἐπὶ κλειδίων λέγεται. Ἀριςτοφάνης Θεςμοφοριαζούςαις· οἱ γὰρ ἄνδρες ἤδη κλειδία φοροῦςι κρυπτά, κακοηθέςτατα, Λακωνικὰ ἄττα, τρεῖς ἔχοντα γομφίους. πρὸ τοῦ μὲν οὖν ἦν ἀλλ᾽ ὑποῖξαι τὴν θύραν ποιηςαμέναιςι δακτύλιον τριωβόλου. νῦν δ᾽ οὗτος αὐτοὺς ἐδίδαξε θριπηδέςτατα. Ar.

160 Κακοήθεια: κακοτροπία παρὰ τῷ Ἀποςτόλῳ.

161 Κακοήθης: κακότροπος. ἢ καὶ ἄλλως κακοήθως αὐτὸς διακληθείη. Σ

162 Κακόθρους: διάβολος· ἢ ζαμενὴς λόγος κακόθρους ἐκ Δαναῶν ἐπιβῇ. Soph.

163 Κακόνοι: ἐχθροί, καὶ κακὸν νοῦν ἔχοντες πρὸς τὸ πρᾶγμα. Ἀριςτοφάνης· ὡς κακόνοι τινές εἰςιν ἐν ἡμῖν. καὶ αὖθις· κακόνουν φωραθέντα ςὺν γυναικὶ καὶ τέκνοις τούτου ἐλαθῆναι. Ar. E

164 Κακοπάθεια: ἡ ταλαιπωρία. Δ

165 Κακοπινέςτατον: τὸ πίνον ποτὲ μὲν ἐπὶ τῆς ἰδέας, ποτὲ δὲ Soph.